46

τοῦ 5ου κεφ.

περὶ ἀντιθέσεως ἢ ἰσοδυναμίας.

τὰ μὴ τῶν ἀποφάνσεων τρία.

1. ἡ ἀντίθεσις. περὶ ἧς λεκτέον πρῶτα.

1. τί ἐστιν. ὅτι ἀντίθεσίς ἐστι δυοῖν ἀποφάνσεων, τοῦ τὸ ἓν θατέρου κατὰ παντὸς ἀποφατικῶς λαμβανομένου ἐχουσῶν μάχην κατὰ ἀπόφασιν καὶ κατάφασιν. ἴσως δὲ ὅτι ἡ ὡς ἀληθῶς ἀντίθεσις γίνεται περὶ τὸ αὐτό, καὶ κατὰ τὸ αὐτό, καὶ πρὸς τὸ αὐτὸ καὶ ὡσαύτως καὶ μὴ ὁμωνύμως, ἔτι καὶ ἐν τῷ αὐτῷ χρόνῳ.

2. ποσαχῶς λέγεται. ὅτι πολλαχῶς. ἔστι γὰρ

ἡ μὲν ἀναντιωτικὴ δυοῖν καθόλου ἀποφάνσεων, ἧς μὲν καταφατικῆς, ἧς δὲ ἀποφατικῆς. πᾶς ἄνθρωπός ἐστι λογικός. οὐδεὶς ἄνθρωπός ἐστι λογικός.

ἡ δὲ ὑποναντιωτικὴ, δυοῖν ἀποφάνσεων μερικῶν, ἧς μὲν καταφατικῆς ἧς δὲ ἀποφατικῆς. τινὲς ἄνθρωποι σοφοί. τινὲς ἄνθρωποι οὐ σοφοί.

ἡ δὲ ἀντικαταφατικὴ. πολλαχῶς

1. ἡ τῶν ἀποφάνσεων, ἡ μὲν ἐστι καθόλου καταφατικὴ, ἡ δὲ μερικὴ ἀποφατικὴ. πάντες ἄνθρωποι σοφοί. τινὲς ἄνθρωποι οὐ σοφοί.

2. ἡ τῶν ἀποφάνσεων ἡ μὲν ἐστι καθόλου ἀποφατικὴ, ἡ δὲ μερικὴ καταφατικὴ. οἷον οὐδεὶς ἄνθρωπος σοφός. ἔστι τις ἄνθρωπος σοφός.

3. ἡ τῶν καθολικῶν ἀποφάνσεων, ἡ μὲν καταφατικὴ ἐστιν, ἡ δὲ ἀποφατικὴ. ὁ ἐμπεδοκλῆς ἐστι ποιητής. ὁ ἐμπεδοκλῆς οὐκ ἐστι ποιητής.

3. κανόνες τρεῖς.

1. τὰς ἀναντιωτικὰς ἀμφοτέρας ἀληθεῖς εἶναι οὐκ ἐνδέχεται. ψεύδεις δὲ εἶναι ἐνδέχεται.

2. τὰς ὑπεναντιωτικὰς ἐνδέχεται ἀμφοτέρας ἀληθεῖς εἶναι. ψεύδεις δὲ οὐκ ἐνδέχεται.

3. τὰ ἀντικαταφατικὰς, οὐδέτερα ἀληθῆ ἀμφοτέρας ἐνδέχεται εἶναι, οὐδέτερα ψευδῆ.

2. ἡ ἰσοδυναμία. περὶ ἧς λεκτέον

1. τί ἐστιν. ὅτι ἰσοδυναμία ἐστὶ καθ' ἣν δύο ἢ πλείω ὀνόματα ἀποφάνσεως ἑνὸς ἐνεργείᾳ τοῦ αὐτοῦ πράγματος, γίνονται ἴσα ἀλλήλοις τῇ αὐτοῦ τὴν οὐσίαν καὶ τὸν αὐτὸν λόγον.

::